Week 4 26th February Test exercise 9 (E&G)

ΦΙΛΟΚΛΕΩΝ: ἴτε, πάντες φίλοι, ἴτε. ἀκούω γὰρ ὑμῶν ᾀδόντων, ἀλλ' οὐχ' οἷός τ' εἰμὶ ᾄδειν ἐγώ.
Philokleon: Come, all my friends, come. For I hear you singing, but I'm not able to sing myself.

τί ποιήσω; οὗτοι γάρ με φυλάττουσιν, καίπερ βουλόμενον μεθ' ὑμῶν ἐλθεῖν πρὸς τὸ δικαστήριον καὶ κακόν τι ποιῆσαι.
What will I do? For they are guarding me, although I am willing to go with you towards the court and do something bad.

ἀλλ' ὦ Ζεῦ, παῦσαι πράγματά μοι παρέχων καὶ φίλος γενοῦ καὶ οἴκτιρον τὸ πάθος.
But Zeus, stop giving me these problems, and be loving and have pity on my misfortune.

σῶσόν με, ὦ Ζεῦ.
Save me, Zeus.

ἤ με ποίησον καπνὸν ἐξαίφνης, ἢ δῆτα λίθον με ποίησον, ἐφ' οὗ τὰς ψήφους ἀριθμοῦσιν.
Either make me suddenly into smoke, or to be sure, make me a stone, the stones on which they are counting.

τόλμησον, ἄναξ, σῶσαί με.
Lord, have the grace to save me.

ΔΙΚΑΣΤΑΙ: τίς γάρ ἐστιν ὁ ἐγκλείων σε; λέξον, αἰτοῦμέν σε.
Dikastai: Who is locking you in? Speak, we beg you.

ΦΙΛ: ὁ ἐμὸς υἱός, εὖ ἴστε. ἀλλὰ μὴ βοᾶτε. καὶ γὰρ τυγχάνει οὑτοσὶ πρόσθεν καθεύδων.
Philokleon: My son, you know well. But don't shout, for he happens to be sleeping right here in front.

ΔΙΚ: τίνος ἕνεκα οὐκ ἔξεστί σοι μεθ' ἡμῶν συνελθόντι ἀκοῦσαι τῶν τε κατηγορούντων καὶ τῶν ἀπολογουμένων;
Dikastai: Why is it not possible for you to come with us, to hear both the prosecutor and the defendants?

ΦΙΛ: ὁ υἱὸς οὐκ ἐᾷ με, ὦνδρες, δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν.
Philokleon: Men, my son does not allow me to judge nor to do anything bad.

ἀλλὰ ζητεῖτε μηχανήν τινα, αἰτῶ ὑμᾶς.
But search for a device, I beg you.

μέλλω γὰρ ἐγὼ τήμερον ἀκούσεσθαι τῶν τε διωκόντων καὶ τῶν φευγόντων.
For today *I* do intend to hear both the accusers and the defendants.

ΔΙΚ: οὐκ ἂν δυναίμεθα, ὦ φίλε, σῶσαί σε.
Dikastai: We will not be able to save you, friend.

φυλάττουσι γάρ σε οἱ οἰκεῖοι πάντες, καὶ οὐκ ἔξεστί σοι φυγεῖν.
For your family members all watch over you, and it's not possible for you to escape.

ΦΙΛ: χρὴ οὖν με εὔξασθαι τοῖς θεοῖς, ἐλπίζοντα φεύξεσθαι.

So it is necessary for me to pray to the gods, hoping to escape.

ἀκουόντων οὖν οἱ θεοί, καὶ βοηθούντων.
So let the gods hear, and come to my aid.

ὦ Λύκε δέσποτα, γείτων ἥρως - σὺ γὰρ φιλεῖς τὸ δικαστήριον - οἴκτιρον καὶ σῶσόν με ἐν ἀπορίᾳ ὄντα.
Lord Lykos, neighboring hero–for you love the court–take pity and save me, as I'm in trouble.

ΔΙΚ: καὶ ὑμεῖς, ὦ παῖδες, τρέχετε καὶ βοᾶτε καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε καὶ κελεύετε αὐτὸν ἥκειν.
Dikastai: And you, slaves, run and shout and tell this to Kleon and order him to be present.

ὁ γὰρ Βδελυκλέων λέγει ὅτι χρὴ μὴ δικάζειν δίκας.
For Bdelykleon says that it is necessary not to judge cases.

ἴτω οὖν Κλέων καὶ σωτὴρ γενέσθω τῷ γέροντι.
So let Kleon come, and let him become a savior to the old man.

EXERCISE
Answer the following questions based on the passage above.

1. Give the number, person and aspect of the following imperatives (e.g. 2 s. pres.):
    a. παῦσαι (line 4)
        i. 2nd sing aorist
    b. γενοῦ (line 5)
        i. 2nd sing aorist
    c. λέξον (line 8)
        i. 2nd sing aorist
    d. βοᾶτε (line 9)
        i. 2nd plural present
    e. ζητεῖτε (line 14)
        i. 2nd plural present
    f. βοηθούντων (line 20)
        i. 3rd plural present
    g. οἴκτιρον (line 22)
        i. 2nd sing aorist
    h. γενέσθω (line 26)
        i. 3rd sing aorist
2. Give the case of the following words and phrases:
    a. φίλοι (line 1)
        i. Vocative
    b. κακόν τι (line 4)
        i. Accusative
    c. Ζεῦ (line 4)
        i. Vocative
    d. πάντες (line 18)
        i. Nominative
    e. δέσποτα (line 21)
        i. Vocative
    f. τῷ γροντι (line 26)
        i. Dative